eul_wid: tla-aa

*Ἀνώνυμοι Μανιχαῖοι* · Manichaean Writers Anonymous

# On the Birth of His Body

*Περὶ τῆς γέννης τοῦ σώματος αὐτοῦ*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινή* Koine
**Domain:** *Βίος* Biography
**Format:** *Πεζός* Prose

Fr. 1.(3) οἱ οἰκ[εῖοι ..... ..... ] ως πρ[οφητ ..... . καὶ] σωτῆ[ρ— — —.] [Break in Text (point at which text breaks off for an unknown length)] ἡ αὐτὴ .

1 (5) ... [ ..... ... ] μοι ἑαυτ .... [— — —]. ”— — — [ .

2 .. κατ]ὰ βραχὺ β[ρα]χὺ .... [ .. ]ον. ασεβ[ .... ] σοι ἔδειξ[α ..... ... ] ἀπὸ πολλ[ῶν. ἐξέ]στα[ι] δέ σοι μεγα[λοπ]ρεπῶς καὶ ὀφθαλμοφανέστατα θεωρῆσαι τὸ μυστήριον ἐκεῖνο.” καὶ τότε ὁ ἄγγελος ἀπεκρύβη ἀ[π ..... ..... ..... ]υ [— — —]. — — — [διὰ σθ]ένους [τῶν] ἀγ[γέ]λων ἐφυλάχθην καὶ τῶν δυνάμεων τῆς ὁσιότητος τῶν ἐνχειρισθεισῶν τὴν ἐμὴν παραφυλακήν, οἵ καὶ ἀνέθρεψάν με δι’ ὀπτασιῶν καὶ σημείων ὧν ὑπεδείκνυόν μοι μικρῶν καὶ βραχυτάτων καθὼς ἐδυνάμην ὑποφέρειν.

3 ποτὲ μὲν γὰρ ἀστραπῆς δίκην εφ .. ε . [— — —]. — — — [ .

4 .... τοῦ-] το καθ’ ὅλου β[ε]βαίως [ἠσθή-] θην. ἠσφαλίζετο δέ με καὶ περὶ ταύτης τῆς δυνάμεως τῆς ἐν θλίψει ἑστώσης. πλεῖσται δέ εἰσιν ὀπτασίαι καὶ τὰ θεάματα μέγιστα, ἃ ὑπέδειξέν μοι κατ’ ἐκεῖνον πάντα τὸν καιρὸν τῆς νεότητός μου. ἐγὼ δὲ ἐν σιωπῆι . [ ..... ἔμει]να, ἐὰν μὴ — — — [Break in Text (point at which text breaks off for an unknown length)] [— — —τ]ού[το]υ σὺν σοφίαι καὶ [εὐ]μηχανίαι περιερ[χό]μενος μεταξὺ αὐ[τ]ῶν καὶ κατέχων τὴν ἀνάπαυσιν καὶ μὴ ἀδικῶν μηδὲ ἀνιῶν μηδὲν μηδὲ ἐξακολουθῶν τῶι νόμωι τῶν βαπτιστῶν μηδὲ παραπλησίως αὐτοῖς διαλεγόμενος.

6 (t) Σαλμαῖ[ο]ς ὁ [ἀσκητής] ”— — — αὐτῶι. ἀλλ[’] οὐδὲ [λάχα-] να λαμβάνεις ἀπὸ τ[οῦ] κήπου, ἀλλ’ οὐδὲ ξύλα πρὸς τὴν χρῆσιν αὑτοῦ φέρεις.” ἠνάγκαζεν δέ με ἐκεῖνος ὁ βαπτιστὴς λέγων· “ἀναστὰς ἐλθὲ σὺν ἐμοὶ εἰς τὸν τόπον, ἔνθα ἔστιν ξύλα καὶ δεξάμενος φέρε.” ἀπερχομένων δὲ ἡμῶν εἴς τινα φοί[νικα ἀ]νέβη ἐκεῖνος [Break in Text (point at which text breaks off for an unknown length)] [ .

7 (2) .... ]το· “ἐὰν τὸν μό[χθο]ν εἴρξηις ἐξ ἡ μῶν, [οὐ]χ ἅμα τῶι φονεῖ ἀ[πο]λῆ.” πρὸς ἐμὲ τότε ἐκεῖνος ὁ βαπτιστὴς φόβωι συσχεθεὶς σὺν θορύβωι κατῆλθεν ἐξ αὐτοῦ καὶ πρὸς τοὺς ἐμοὺς πόδας ἔπεσεν λέγων· “οὐκ ἐγίνωσκον ὅτι τοῦτο τὸ ἀπόρρητον μυστήριον παρὰ σοί ἐστιν. πόθεν δέ σοι ἀπεκαλύφθη ἡ π ... [ ..... ... ] [Break in Text (point at which text breaks off for an unknown length)] ... ” [— — —] “ὅ[τε δὲ ὁ φοῖνιξ εἶπεν] πρὸς σὲ τοῦτο, πῶ[ς κατ-] εφοβήθης καὶ τὴν

[χροι-] ἀν μετέβαλες; ἐκ[εῖνος] μεθʼ οὗ πάντα τὰ φ[υτ]ὰ λαλεῖ, ποσαπλασίονα κινηθήσεται;” ἐξεπέπληκτο τοίνυν κατεχόμενος ὑπὸ θαύματος διʼ ἐμέ.

8 ἔλεγέν μοι· “φύλαξον τὸ μυστήριον τοῦτο, μηδενὶ ἐξείπηις, ἵνα μή τις φθονέσας ἀπολέσει σε.” [ ..... ... ] τ[ο]ίνυν τις ε— — —. [Break in Text (point at which text breaks off for an unknown length)] [ .

9 .. ] ... πα .. [ .... ] . ε [ ... ] ἔλεγεν πρὸς ἐμὲ εἷς [τῶ]ν ἀρχηγῶν τοῦ νόμου αὐτῶν θεωρήσας με λάχανα ἀπὸ τοῦ κήπου μὴ λαμβάνοντα, ἀλλʼ ἀπαιτοῦντα αὐτοὺς ἐν λόγωι εὐσεβείας· ἔλεγέν μοι· “σὺ τίνος χάριν οὐκ ἔλαβες λάχανα ἀπὸ τοῦ κήπου, ἀλλʼ ἐν μέρει εὐσεβείας αἰτεῖς παρʼ ἐμοῦ;” καὶ μετὰ τὸ εἰπεῖν δὲ ἐκ[εῖ-] νον τὸν βαπ[τιστὴν] πρὸς [ἐμὲ — — —]. [Break in Text (point at which text breaks off for an unknown length)] δὲ .

10 [ ... κ]αὶ ἐτάκ[η ὀλοφυρό-] μενον παραπλησ[ίως ἀν-] θρωπείοις προσώ[ποις] καὶ ὡσεὶ παιδίοις. οὐαὶ ο[ὐ-] αὶ δὲ τὸ αἷμα κατεκέχυτο τοῦ τόπου τοῦ κοπέντος διὰ τῆς δρεπάνης ἧς μετὰ χεῖρας εἶχεν. ἔκραζον δὲ καὶ ἀνθρωπείαι φωνῆι διὰ τὰς πλήξεις αὐτῶν. ὁ δὲ βαπτιστὴς πάνυ ἐκινήθη ἐφʼ οἷς ἐθεώρησεν καὶ ἐλθὼν [π]ρ[ό]σθεν μου προσέπε[σεν. ὁπ]ηνίκα τοίνυν [ ..... ..... . ] ἐμέ τις [ ..... ..... ..... ]ου — — —. [N.N.] (?) [ .... κατὰ τὸ νήπιον] [τοῦ σ]ώματός μου μέ[χρι] τετάρτου ἔτους.

11 [τότ]ε εἰσήλασα εἰς τὸ δόγμα τῶν βαπτιστῶν ἐν ὧι καὶ ἀνετράφην κατὰ τὸ νέον τοῦ σώματος φυλασσόμενος διὰ τοῦ σθένους τῶν φωτεινῶν ἀγγέλων καὶ δυνάμεων τῶν ἰσχυροτάτων αἵτινες ἐντολὴν ἔσχον πρὸς τοῦ Ἰη(σο)ῦ τῆς εἵλης παραφυλακῆς χάριν. αὐτῶν τότε παραχρῆμ[α ..... ..... .. ] φησ[— — —] [Break in Text (point at which text breaks off for an unknown length)] [— — — ἐκ τῆς πηγῆς] τῶν ὑδάτων εἶδ[ος] ἀν(θρώπ)ου ὤφθη μοι ὑ[ποδει-] κνύον διὰ τῆς χειρ[ὸς] τὴν ἀνάπαυσιν ὡς ἂν μὴ ἁμάρτω καὶ πόνον ἐπάγω εἰς αὐτόν.

12 τοῦτον τὸν τρόπον ἀπὸ τετάρτου ἔτους καὶ μέχρις οὗ ἔφθασα εἰς τὸ ἀκμαῖον τοῦ σώματός μου ἐν ταῖς χερσὶν τῶν ἁγνοτάτων ἀγγέλων καὶ τῶν τῆς ὁσιότητος δυνάμεων περιτηρού[μενος ἔλα]θον. [Break in Text (point at which text breaks off for an unknown length)] [N.

13 (t) N.] — — — [ ... ]· ἄλλοτε δὲ ὡς σύζυγος φωνὴ ἐκ τοῦ ἀέρος διελέγετο πρὸς ἐμὲ λέγουσα· “ῥῶσόν σου τὴν δύναμιν καὶ κράτυνον τὴν φρένα καὶ πρόσδεξαι πάντα τὰ ἀποκαλυπτόμενά σοι.” καὶ πάλιν ἔλεγεν τὸ αὐτό· “ῥῶσον τὴν δύναμιν καὶ στῆσόν σου τὴν φρένα καὶ ὑπόστα πάντα τὰ ἐρχόμενα ἐπὶ σέ.” τότε προσ[έπεσον ... ] φων[η— — —] [Break in Text (point at which text breaks off for an unknown length)] ” .

14 . ὑπὸ μεγάλων [πατέρων] προεβλήθημεν.” Βαρ 〈α〉 ίης ὁ διδάσκαλος ἔλεγεν ὁ κ(ύριό)ς μου οὕτως· ὃν τρόπον σήμερον πῶλος βασιλεῖ χρήσιμος διὰ τῆς δυνάμεως τῶν ἱπποφόρβων γίνεται βασιλέως ὄχημα, ἵνʼ ἐν τιμῇ καὶ δόξηι ἐπικαθεσθεὶς αὐτῶι τὸ ἴδιον [α]ὐτοῦ καταπράξηται [βούλημα, το]ύτωι τῶι τρό[πωι ἀνετράφη τ]ὸ σῶμα [ ..... ..... .. ἀγ]αθόν [— — —] [Break in Text (point at which text breaks off for an unknown length)] [ .

15 .... ] τόπου ν[ ... .. . ] [ .. π]ρὸς ἀνάπαυσιν τοῦ βασιλέως. καὶ κατεκοσμήθη τι ἔνδυμα τῶι ἐνδυσαμένωι. κατεσκευάσθη μὲν ἡ ναῦς τῶι ἀρίστωι κυβερνήτηι, ἵνα ἀγρεύσηι τὰ κειμήλια ἐκ τῆς θαλάσσης. ἐκτίσθη δὲ τὸ ἱερὸν πρὸς εὔκλειαν τοῦ νοῦ καὶ ὁ ἁγιώτατος μὲν νεὼς πρὸς ἀποκάλυψιν τῆς αὐτοῦ σοφίας. πεπλήρωται δʼ ὁ [ ..... .... ] τόκο[ς] — — —. [Break in Text (point at which text breaks off for an unknown length)] [ .

16 . οἰκ]ήσας ἐν σ[ώματι] τοὺς ἀνδραποδισ[θέν-] τας ἀπὸ τῶν δυναστῶν καὶ λυτρώσαιτο καὶ ἐλευθερώσῃ τὰ σφέτερα μέλη ἐκ τῆς ὑποταγῆς τῶν στασιαστῶν καὶ τῆς τῶν ἐπιτροπευόντων ἐξουσίας καὶ διʼ αὐτοῦ μὲν φάνηι τῆς ἰδίας γνώσεως τὴν ἀλήθειαν, ἐν αὐτῶι δὲ ἀναπετάσῃ τὴν θύραν τοῖς καθειργμένοις [καὶ διʼ αὐτο]ῦ μὲν ὀρέξῃ [τὴν εὐζωίαν ἐ]κε[ί]νοις, — — — [Break in

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Text (point at which text breaks off for an unknown length)] ..... πασῶν διδασκα[λ]ιῶν καὶ πάντων νόμων, καὶ ἐλευθερώσῃ δὲ τὰς ψυχὰς τῆς ἀγνοίας γινόμενος παράκλητος καὶ κορυφαῖος τῆς κατὰ τήνδε τὴν γενεὰν ἀποστολῆς.

17 κατὰ τὸν καιρὸν τοίνυν καθ’ ὃν συνεπεράνθη μου τὸ σῶμα ἐν τέλει, παραχρῆμα καταπτὰς ὤφθη ἔμπροσθέν μου ἐκεῖνο τὸ εὐειδέστατον καὶ μέγιστον κάτοπτρον τ[οῦ προσώ-] που μ[ου] — — —. [Break in Text (point at which text breaks off for an unknown length)] [ὅτε δὲ τεσσάρων καὶ εἴ-] κοσι ἐτῶν ὑπῆρξα [ἐν] τῶι ἔτει ὧι ὑπέταξεν Ἄτραν τὴν πόλιν Δαριάρδαξαρ ὁ βασιλεὺς τῆς Περσίδος, ἐν ὧι καὶ Σαπώρης ὁ βασιλεὺς ὁ υἱὸς αὐτοῦ διάδημα μέγιστον ἀνεδήσατο, κατὰ τὸν μῆνα τὸν Φαρμοῦθι ἐν τῇ η ἡμέραι τῆς σελήνης ὁ μακαριώτατος κ(ύ)ρ(ιο)ς ἐσπλ[αγ-] χνίσθη ἐπ’ ἐμὲ καὶ ἐκ[ά-] λεσεν εἰς τὴν αὐτοῦ χάριν καὶ ἀπέστειλέν μοι [ .

18 .... .. ] .. υς σύζυγόν [μου τὸν ἐν δόξῃ μ]εγάληι [— — —] [Break in Text (point at which text breaks off for an unknown length)] [ὁ] μνήστωρ καὶ μη[νυτὴς] πασῶν ἀρίστων συμβο[υ-] λιῶν τῶν ἐκ τοῦ π(ατ)ρ(ὸ)ς τοῦ ἡμετέρου καὶ τῆς ἀποπρὸ πρώτης δεξιᾶς ἀγαθῆς.

19 (2) καὶ πάλιν εἶπεν οὕτως, ὡς ὁπηνίκα ηὐδόκησεν ὁ π(ατ)ήρ μου καὶ πεποίηται ἐπ’ ἐμὲ ἔλεόν τε καὶ οἶκτον εἰς τὸ λυτρώσασθαι ἐκ τῆς τῶν δογματιστῶν πλάνης, ποιήσας ἐπ’ ἐμὲ τὴν φειδὼ διὰ τῶν πλείστων αὐτοῦ φα[νερώσεων] ἀπ[έ-] στειλέ[ν μοι τὸν σύζυ-] γό[ν μου — — —] [Break in Text (point at which text breaks off for an unknown length)] [ ... . .. · κεκόμικε δέ [μοι τὴν ἀ]ρ[ίσ]τ[ην ἐλπίδα] [καὶ] ἀπολύτρωσιν τλ[η-] [τ]ικοῖς καὶ τὰς ἀληθεστάτας ὑποθήκας τε καὶ γνώμας καὶ τὴν ἐκ τοῦ ἡμετέρου π(ατ)ρ(ὸ)ς χειροθεσίαν.

20 ὁπηνίκα τοίνυν ἀφῖκται, διελύσατό με καὶ διώρισε καὶ ἀπεσπάσατο ἐκ μέσου τοῦ νόμου ἐκείνου καθ’ ὃν ἀνετράφην. κατὰ τοῦτον τὸν τρόπον ἐκάλεσέν με καὶ ἐπελέξατο καὶ εἵλκυσεν καὶ διέστησεν ἐκ μέσου τούτ[ων. παρ]ε[λ]κύσας δέ [με εἰς μίαν π]λευρὰν [— — —]. [Break in Text (point at which text breaks off for an unknown length)] [ .

21 .... ... ] . των ... [ . ]υσεν καὶ τίς εἰμι καὶ τοὐμὸν σῶμα καὶ ποίωι τρόπωι ἐλήλυθα καὶ ὡς γέγονεν ἡ ἄφιξίς μου εἰς τόνδε τὸν κόσμον καὶ τίς γίγνομαι τῶν ὑπαρχόντων κατὰ τὴν ὑπεροχὴν ἐπισημοτάτων καὶ ὡς ἐγεννήθην εἰς τὸ σαρκῶδες τοῦτο σῶμα ἢ διὰ ποίαν μαιευθεὶς ἐλοχεύθην κατὰ τὴν σάρκα ταύτην καὶ ἀπὸ τίνος .. [ . ] .. κατεσπάρην κ[— — —] [Break in Text (point at which text breaks off for an unknown length)] .

22 .. καὶ πῶς [ ........ ] γμα γεγένηται κα[ὶ ὁ] π(ατ)ήρ μου ὁ ἐν ὕψει τίς τ[υγ-] χάνει ἢ ποίωι τρόπωι διαστὰς αὐτοῦ ἀπεστάλην κατὰ τὴν αὐτοῦ γνώμην καὶ ποίαν ἐντολήν τε καὶ ὑποθήκην δεδώρηταί μοι πρὶν ἐνδύσωμαι τὸ ὄργανον τόδε καὶ πρὶν πλανηθῶ ἐν τῆι σαρκὶ ταύτηι τῆι βδελυρώδει καὶ πρὶν ἐνδῦναί με τήν τε μέθην αὐτῆς καὶ τὸν τρόπον καί, ὅστις [ ..... ..... ]. αὐτὸς σύ[ζυγός μου ὁ ἄγρυ]πνος ὤν, [ ..... ..... .. ] καὶ οἱ [— — —] [Break in Text (point at which text breaks off for an unknown length)] [ .

23 . τ]ὰ ἀπόρρητα καὶ τὰ [νοή]ματα καὶ τὰς ὑπερβολὰς τοὐμοῦ π(ατ)ρ(ὸ)ς καὶ περὶ ἐμοῦ τίς τυγχάνω ὤν, καὶ ὁ σύζυγός μου ὁ ἀραρὼς τίς ποτ’ ἐστίν, ἔτι δὲ καὶ περὶ τῆς ψυχῆς μου, ἥτις πάντων τῶν κόσμων ὑπάρχει ψυχή, ἢ τίς καὶ αὐτή ἐστιν ἢ γέγονε πῶς. ἔφηνε δ’ αὖ ἐμοὶ πρὸς τούτοις τά τε ἄπειρα ὕψη καὶ τὰ βάθη τὰ ἀνεξιχνίαστα. ὑπέδειξε [δέ μοι] πάντ[α] ἃ μετ[— — —] [Break in Text (point at which text breaks off for an unknown length)] μὲν ταπ[ .

24 ......... . ] δὲ αὐτὸν ἀ[σφαλέστατον] ὄντα. εὐσεβ[ῶς δ’ ἔλαβόν] τε αὐτὸν καὶ ἐκτησάμην ὡς ἴδιον κτῆμα. ἐπίστευσα δ’ αὐτὸν ἐμὸν ὑπάρχοντά τε καὶ ὄντα καὶ σύμβουλον ἀγαθὸν καὶ χρηστὸν ὄντα. ἐπέγνων μὲν αὐτὸν καὶ συνῆκα ὅτι ἐκεῖνος ἐγώ εἰμι ἐξ οὗ διεκρίθην. ἐπεμαρτύρησα δὲ ὅτι ἐγὼ ἐκε[ῖ]νος αὐτός εἰμι ἴσος [ὅλω]ς ὑπάρχων — — — [Break in Text (point at which text breaks off for an unknown length)] [ .

25 ... α]ὐτῶι. ἔλεγεν δ’ αὖ [πάλιν] οὕτως, ὡς σὺμ πλείστηι μηχανῆι καὶ ἐπιστήμηι περιῆλθον ἐν ἐκείνωι τῶι νόμωι διαφυλάττων τήνδε τὴν ἐλπίδα ἐν φρονήσει τῆι ἐμαυτοῦ μηδενὸς αἰσθομένου, τίς ποτ’ ἐστὶν τὸ παρ’ ἐμ[οί], ὃν καὶ αὐτὸς ἐγὼ ἀπεκάλυψα οὐδενὶ οὐδὲν κ[α-] τὰ τὸν χρόνον ἐκεῖνον πλεῖστον ὑπάρχοντα. ἀλλ’ οὐδὲ ἐκείνοις π[αρα-] πλήσια .... ιμο[ ..... ] τὸ σαρκῶ[δες] .. [ ..... . ] ψα τῶν γενομένων οὐδὲ τῶν γενησομένων οὐδ’ ὅτι ἐστὶν ὁ ἔγνων ἢ τί τυγχάνει ὃ προσεδεξάμην.

26 οἱ διδάσκαλοι λέγουσιν ὁπηνίκα τοίνυν τὰ ἀπόρρητα ταῦτα καὶ μέγιστα ἐξέφηνέ μοι ἐκεῖνος ὁ πανευκλεὴς καὶ πανευδαίμων, ἤρξατο λέγειν [πρ]ός με· “τόδε τὸ μυστή[ριον ὃ] ἀπεκάλ[υ]ψά σοι ἀπό[δειξον] . [ ..... ] πᾶσι καὶ [ ..... .. ἀπο]καλύψαι — — —.” [Break in Text (point at which text breaks off for an unknown length)] [ .

28 (23) .... . διὰ δρεπάνης] τῆς ἀποτε[μ]νούσης ζ[ιζά-] νια καὶ καρποὺς τῆς γῆς ἐκτεμεῖν τοὺς ἀκρεμόνας πάντων τῶν στασ[ι-] αστῶν αὐτῆς μόνης δ[ο-] ξαζομένης τῆς ἀλη[θεί-] ας καὶ βασιλευούση[ς πα-] ραπλησί[ω]ς τω .

29 . [ ..... ὕ-̓] ψους αυ[— — —]. [Break in Text (point at which text breaks off for an unknown length)] [ .

30 .... ἐ]κείνοις τοῖς κατὰ σ[ά]ρκα συνημμένοις, ἀλλὰ καὶ τοῦτον τὸν τρόπον κατὰ βραχὺ βραχὺ [ἐ]μαυτὸν διώρισα ἐκ μέ[σο]υ τοῦ νόμου ἐκείνου [καθ’] ὃν ἀνετράφην, ὑπερ[μέτ]ρως θα[υ]μάζων ε[ .. ... ..... .. ] μυστη[ρι .......... π]λῆθος — — — [Break in Text (point at which text breaks off for an unknown length)] πλήθει, μονήρης δ’ ἐγώ.

31 πλουτεῖ μὲν γὰρ ταῦτα, πένομαι δ’ ἐγώ. πῶς τοίνυν μόνος ὢν παρὰ πάντας οἷος ἔσομαι τὸ μυστήριον τοῦτο ἀποκαλύψαι ἐν μέσωι τοῦ [πλ]ήθους τοῦ ἐ[νεχομένου ἐν] πλάνηι; . [ ..... ..... ] πρὸς τοὺ[ς βασιλεῖς καὶ] διοικητ[ὰς ..... ... ] .. γαθῶ . [ ..... .... ἔ-] θνος τ . [ .... .. πρὸς] τὸ διαλ[εχθῆναι (?) .... ] πραξει[ ..... ..... . ] σαι του[ ..... ... · ἐγὼ] μὲν γάρ [εἰμι ..... .. ] τε καὶ π[ένης ..... .. ] μονήρ[ης ..... ..... ] τ .. υ[— — —] σθῆναι, ὧι καὶ σύνεισιν πλεῖστοι βοηθοί.

32 ἐμοῦ δὲ ταῦτα λογιζομένου καὶ σκεπτομένου κατὰ τὴν φρένα αὐτόθι ἀνέσχεν καταντ[ι]κρὺ ἐμοῦ στὰς ὁ ἐν[δοξότατ]ός μου σύζυ[γος λέγων π]ρὸς ἐμέ· [” ..... ..... ] εἶπας ὡς [ ..... ... β]ασιλεῦσιν [ ..... ... το]ῦτο τὸ μυ[στήριον ἀπο]καλυφθῆ[ναι. ... ἀγαθ]ὸς σύμβου[λος ..... ... σ]υμβου[ ..... ..... τ]υγχάνω [ ..... ..... ]ου βουλη[ ........ σύ]μβουλος. [ ..... ..... . ]. εὐτρε[π ..... . ἀπ . καλ]υφθη[ ..... ..... ... ]ου— — — [Break in Text (point at which text breaks off for an unknown length)] καὶ δι’ αὐτὸ τοῦτο ἐγεννήθης.

33 σὺ τοίνυν πάντα ἅπερ ἔδωκά σοι ἐξηγοῦ, ἐγὼ δὲ ἐπίκουρός σου καὶ φύλαξ ἔσομαι κατὰ πάντα καιρόν.” Τιμόθεος κατὰ [τούτους τοὺς και-] ροὺ[ς ..... ..... ... ] καὶ . [ ..... ..... ... ] μυστηρ[ι ..... ..... ]. ποτὲ μὲ[ν — — —] [Break in Text (point at which text breaks off for an unknown length)] [ ..... ..... .... τῶν] τοῦ φωτὸς πατέρων καὶ πάντα τὰ γιγνόμενα ἐν τοῖς πλοίοις ἀπεκάλυπτέ μοι.

34 ἀνέπτυξε δ’ αὖ πάλιν τὸν κόλπον τοῦ κίονος καὶ τοὺς πατέρας καὶ τὰ σθένη τὰ ἀλκιμώτατα [τὰ ἀ]ποκρυπτόμενα ἐ[ν αὐτῶι τούτωι τ]ε καὶ [ ..... ..... ὕ]ψος τοῦ [ ..... ..... .. ]φετε[ ..... . .... ]λης ἔδει[ξε ..... .... ] τοῦτον [— — —.] [Break in Text (point at which text breaks off for an unknown length)] σα ἐκλεγῆναι καὶ ὀφθῆναί μοι παρασκευασθεῖσα καὶ τελειουργηθεῖσα ἔν τε τοῖς διδασκάλοις αὐτῆς καὶ ἐπισκόποις, ἐκλεκτοῖς τε καὶ κατηχουμένοις, ἔν τε τραπέζαις, εὐσεβείαις καὶ βοηθοῖς μεγίστοις καὶ πᾶσι τοῖς μέλλουσι γίγνεσθαι [ὥστ’ ἀ]ποκαλύπτεσ[θαι ταύτην] τὴν ἐμὴν ἐκκ[λησίαν, καὶ α]ὐτῶι τῶ[ι συζύγωι ἐκεί]νωι ἐφ’ [ὧι — — —] [Break in Text (point at which text breaks off for an unknown length)] Ν.

35

Eulogikon public reading copy · View original HTML at eulogikon.org

N. [— — — ἀληθεστά-] τας καὶ ἀπορρήτους ἀπεκάλυψέν μοι, πρόσθεν αὐτοῦ προσκυνήσας εἶπον· “ταῦτα ἅπερ αἰτοῦμαι παρὰ σοῦ δίδονταί μοι καὶ συνπαραμενοῦσίν μοι κατὰ πάντα καιρὸν μὴ ἀποκρυπτόμενα, ἀλλὰ προφανῶς διὰ τῶν χειρῶν μο[υ φαι]νόμενα φαινο[ .

36 ... πᾶ]σιν ὀφθαλμοῖς [ἀνθρώπων; καὶ] ἔτι ἡ ἐκκ[λησία ἵν’ αὔξητα]ι, ἐγὼ [αἰτοῦμαι παρὰ σοῦ πᾶσαν τὴν] δύν[αμ]ιν [τῶν σημεί]ων, ἵνα πρά[ξω αὐτὰ τα]ῖς χερσί μου [ ..... ..... κα]τὰ πάν[τα τόπον καὶ πάσα]ς κώ[μας καὶ πόλεις ..... ] [ ..... ..... ..... .. ] [καὶ ἵνα συγγνώμην παρα-] πέμψωμαι τοῖς πλημμελέσι· καὶ πάλιν κατὰ τὴν σοφίαν μηδείς με νικήσηι· καὶ ἵνα ὦ ἄνοσος καὶ ἀκίνδυνος· καὶ ὅπως αἱ ψυχαὶ τῶν νικητῶν ἐξερχόμεναι ἀπὸ τοῦ κόσμου πᾶσιν ὀφθαλμοῖς ἀν(θρώπ)ων θεωρηθῶσιν.

37 ὁμοίως [δὲ καὶ ἵνα] καὶ πάλ[ιν] με ἡ δόξ[α] (legitur) καὶ ἵν[α] κ[αὶ ἵνα ποτ’ ἂν περιλημ-] φθῶ ὑπὸ θλίψεως ἢ διωγμῶν, ἀποκρυβῶ ἀπ’ ἔμπροσθεν τῶν ἐχθρῶν μου.

38 ” Τότε ὁ ἐνδοξότατος ἐκεῖνος εἶπεν πρὸς ἐμέ· “τὰς δωρεὰς ταύτας ἅσπερ ἠτήσω παρ’ ἐμοῦ, τισὶ μὲν μία ἐξ αὐτῶν [δίδο]ται τοῖς ἀδελφοῖς [ ..... .... ] ... τοῖς κατὰ ..... ..... .. ] . , τι[σὶ δὲ ..... .. ] . ατα [ ..... ..... .. ] γενεᾶι [ ..... ἀπεκαλ]ύφθησαν, [ ..... ....... ] μὲν τη[ ..... ὀφθαλ]μοῖς θεω[ρ— ..... ..... ] . . αἱ δω[ρεαὶ ..... ..... . ]των [ ..... ..... .... ] . α ἑ[ ..... ..... ..... . ]ν [ ..... ..... ..... ] . νται. [ ..... ..... .... ] ... πρὸς τὸ πρέπον τῆι γενεᾶι καθ’ ἣν ἀπεκαλύφθης, συγγνώμην τῶν ἁμαρτημάτων ὅπως παραπέμψῃς τοῖς ἁμαρτάνουσιν ἐκείνοις τοῖς τὴν μετάνοιαν ἐκ σοῦ προσδεχομένοις καὶ τῆι ὁσιότητι πειθομένοις, ἵνα λύσας παραπέ[μψῃς ἄφεσιν] πλημ[μελειῶν καὶ ἐγ-] κλήσ[εων σοῦ τῆι ἐκλο-] γῆι, ἔτ[ι δὲ καὶ .

39 .... . ] ἁμαρτ[ ..... ..... με-] τανοου[ ..... ..... . ]. δογμ[α— — —] καὶ πάλιν εἴ ποτ’ ἂν θλιβῆις ἐπικαλέσηι με, ἐγὼ πλησίον σου εὑρεθήσομαι ἑστώς, ὑπερασπιστής σου ἐν πάσηι θλίψει καὶ κινδύνωι γενησόμενος.

40 τὰ δὲ σημεῖα ταῦτα ἅπερ με ἠτήσω ἐν ἐμοὶ γνωσθήσονται ὡς καὶ [ἀποκαλ]υφθῆναί σοι δη[λότατα. ἀποδεί]ξω γὰρ [διὰ τῆς χειρός μο]υ πάν[τα καὶ ὡς κάτοπτ]ρον ἔσο[μαί σοι ..... .. ]αν ἐγὼ [ὡς καὶ τὴν σοφίαν] ἀνατεῖ[λαι ἔν σοι καὶ ν]όσου ἀπο[λυθῆναί σε]. τὰ δὲ ση[μεῖα σοι παρέ]χεται δι[ὰ ..... ..... ]των καὶ — — — [Break in Text (point at which text breaks off for an unknown length)] [ ..... ..... ..... τέ-] ρατα τοῦ ψεύδους τὰ ἀντισταθέντα πρὸς αὐτούς.

41 διὰ γὰρ τῶν σημείων τῆς ἀληθείας κατηργήθη τὰ τοῦ ψεύδους.” μετὰ δὲ τὸ ταῦτα εἰπεῖν πρὸς ἐμὲ τὸν ἐνδοξότατον καὶ ἐνδυναμῶσαί με καὶ παραθαρσῦναι πρὸς τὴν [ἀποστολὴν] τὴν ἐμ[ὴν ἀπεκρύβη]. ὁπη[νίκα τοίνυν ..... ] νο . [ ..... .... ἀποκα-] λύπτ[ ..... ..... .... ]. ὅτε [ ..... ..... ..... ] το[ ..... .... . ..... ... ] κατ[ . ] . [ ..... παραπλη-] σίως τῆ[ι ..... ..... ] λιστη[ι ..... ..... .. ] οντι [— — —] [Break in Text (point at which text breaks off for an unknown length)] καὶ λαβεῖν ἐξ αὐτῆς κληματίδας πρὸς τὸ πληθῦναι τὸν ταύτης γόνον, ἵν’ οὕτως ἀπὸ μιᾶς ἀμπέλου τῆς ἀφ’ ἑνὸς σπέρματος καλλίστου—εὐπορήσας μέντοι γε γῆς ἀρίστης ἱκανῆς ἀναφῦναι ἐκείνην τὴν [ἄμπελο]ν καὶ δυναμέ[νης πολλὰ τε]κεῖν—ἐκ ταύ[της δὴ τῆς ἀμπέλου] γί[νηται πολλῶν ἀμ]πέλων [ε]ἰλ[η]φότος [ .

42 .... ..... π](ατ)ρ(ὸ) . [] τό τε ὕψος καὶ τὸ βάθος καὶ τὴν ἀνάπαυσιν καὶ τὴν κόλασιν.

43 ἀπεκάλυψε δέ μοι μυστήρια τὰ λεληθότα τὸν κόσμον ἃ οὐκ ἐξὸν ἰδεῖν πάντα ἄν(θρωπ)ον οὐδὲ ἀκοῦσαι. ὅτε τοίνυν ἐξηραύνησα πάντα τὰ θεωρηθέντα μοι ἐν τ[ .......... ] αὐτοῦ, κα[ ..... ..... ] τη[ . ] . π[— — —] [Break in Text (point at which text breaks off for an unknown length)] ἰδ[ών.] — — — τ .

44 . μὴ πᾶσι διδόμενα. τότε παραχρῆμα διεῖλον ἐμαυτὸν ἀπὸ τῶν τάξεων ἐκείνου τοῦ δόγματος καθ’ ὃ ἀνετράφην καὶ γέγονα παραπλήσιος ὀθνείωι καὶ μονήρει ἐν μέσωι αὐτῶν μέχρι φθάσαι τὸν και[ρὸν τοῦ ἀπο]βῆναί με ἀ[π’ ἐκείνου τ]οῦ δόγμα[τος — — —] [Break in Text (point at

Eulogikon public reading copy · View original HTML at eulogikon.org

which text breaks off for an unknown length)] [Βα]ραί[ης ὁ διδάσκαλος] γνῶτε τοίνυν, ὦ ἀδελφοί, καὶ σύνετε πάντα ταῦτα τὰ ἐνθάδε γραφέντα, καὶ περὶ τοῦ τρόπου καθ' ὃν ἀπεστάλη ἥδε ἡ ἀποστολὴ ἡ κατὰ τήνδε τὴν γενεὰν καθὼς ἐδιδάχθημεν παρ' αὐτοῦ, ἔτι δὲ καὶ περὶ τοῦ [σώ-] ματος [αὐτοῦ] .

45 (t) ʻ . [ .... . ] πατ . [— — —] [Break in Text (point at which text breaks off for an unknown length)] τῆς ἀποστολῆς ταύτης τοῦ πν(εύματο)ς τοῦ παρακλήτου καὶ μεταβληθεὶς εἴπῃ, ὅτι οὗτοι μόνοι γεγράφασιν ἁρπαγὴν τοῦ διδασκάλου αὐτῶν πρὸς καύχησιν.

46 πάλιν δὲ καὶ περὶ τῆς γέν[νη]ς τοῦ σώματος αὐτοῦ [ἔγρα]ψ[εν], ὁ[μοί]ως δὲ καὶ [ ..... ..... ] . ης ἐκεί[νης— — —] [Break in Text (point at which text breaks off for an unknown length)] ἁμαρτάνει.

47 ὁ γάρ τοι βουλόμενος ἀκουέτω καὶ προσεχέτω ὡς εἷς ἕκαστος τῶν προγενεστέρων πατέρων τὴν ἰδίαν ἀποκάλυψιν ἔδειξεν τῆι ἑαυτοῦ ἐκλογῆι, ἣν ἐξελέξατο καὶ συνήγαγεν κατ' ἐκείνην τὴν γενεὰν καθ' ἣν ἐφάνη, καὶ γράψας κατέλειψεν τοῖς μεταγενεστέροις. καὶ ὁ μὲν περὶ ἁρπαγῆς αὐτοῦ ἐδήλω[σ]εν, οἱ δὲ ἔξω ὡμίλ[η]σαν, αὐτ . [ ... ] τῆς ο[ .. ] . η σ[ ..... .... ] λοι ε[— — —] [Break in Text (point at which text breaks off for an unknown length)] γράψαι καὶ ἀποδεῖξαι 〈 〉 μετέπειτα καὶ ἐνκωμιάσαι καὶ μεγαλῦναι τοὺς διδασκάλους ἑαυτῶν καὶ τὴν ἀλήθειαν καὶ τὴν ἐλπίδα τὴν ἀποκαλυφθεῖσαν αὐτοῖς.

48 οὕτω τοίνυν εἷς ἕκαστος κατὰ τὴν περίοδον καὶ περιφορὰν τῆς ἀποστολῆς αὐτοῦ ὡς ἐθεώρησεν εἶπεν καὶ γέγραφεν πρὸς ὑπομνηματισμόν, ἔτι δὲ καὶ περὶ τῆς ἁρπαγῆς αὐτοῦ. [οὕτ]ω πρῶτο[ς ὁ] Ἀδὰμ [ὡς φανε]ρώτ[ατα] εἶπεν [ἐν τῆι ἀποκαλύψει] αὐτοῦ [ὅτι ἐθεώρησα ἄγ]γελον [ ..... ..... . ἀπ . ]καλυ[ ..... ..... ..... ] . ο[ ..... ..... · " ..... .. ] [ ... ἔμπροσθεν τοῦ λαμ-] προῦ προσώπου σου ὃν ἐγὼ οὐ γινώσκω.

49 " τότε ἔφη αὐτῶι· "ἐγώ εἰμι Βάλσαμος ὁ μέγιστος ἄγγελος τοῦ φωτός. ὅθεν δεξάμενος γράψον ταῦτα ἅπερ σοι ἀποκαλύπτω ἐν χάρτηι καθαρωτάτῳ καὶ μὴ φθειρομένωι καὶ σῆτα μὴ ἐπιδεχομένωι", χωρὶς καὶ ἄλλων πλείστων ὧν αὐτῶι ἀπεκάλυψεν ἐν τῆι ὀπτασίαι. μεγίστη γὰρ ἦν ἡ περὶ αὐτὸν δόξα. ἐθεώρησεν δὲ κα[ὶ ... ] ἀγγέλους κα[ὶ ἀρχιστρα-] τήγου[ς καὶ δυνάμεις] μεγί[στας — — —] [Break in Text (point at which text breaks off for an unknown length)] ον ὁ Ἀδὰμ καὶ γέγονεν ὑπέρτερος παρὰ πάσας τὰς δυνάμεις καὶ τοὺς ἀγγέλους τῆς κτίσεως.

50 πολλὰ δὲ καὶ ἄλλα τούτοις παραπλήσια ὑπάρχει ἐν ταῖς γραφαῖς αὐτοῦ. ὁμοίως δὲ καὶ Σηθὴλ ὁ υἱὸς αὐτοῦ οὕτω γέγραφεν ἐν τῆι ἀποκαλύψει αὐτοῦ λέγων ὅτι ἤνοιξα τοὺς ὀφθαλμούς μου καὶ ἐθεώρησα ἔμπροσθεν τοῦ προσώπου μου [ἄγγε]λον οὗ οὐκ ἠδυνά[μην ἀναζω]γραφῆσαι τὸ [φέγγος ..... ἄ]λλο τι ὑ[ ..... ..... ἀστ]ραπαὶ [ ..... ..... .... ] μοι· [" ..... ..... .... ] . ου ὁ[ ..... ..... .... ] . αι[ ..... .......... ]ε[ ..... ..... .... ." ὁπη-] νίκα τούτων ἠκροασάμην, ἐχάρη μου ἡ καρδία καὶ μετετράπη ἡ φρόνησις καὶ ἐγενόμην ὡς εἷς τῶν μεγίστων ἀγγέλων.

51 ἐκεῖνος ὁ ἄγγελος τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν δεξιάν μου θεὶς καὶ ἐξέωσέ με ἀπὸ τοῦ κόσμου ἐξ οὗ ἐγεννήθην καὶ ἀπήνεγκεν εἰς ἕτερον τόπον πάνυ μέγιστον. ἤκουον δὲ ἐκ τῶν ὄπισθέν μου θορύβου μεγίστου ἐκ τῶν ἀγγέλων ἐκείνων ὧν κα[τέ]λειψ[α ἐν] τῶι κόσμ[ωι αὐτῶν ὑπαρ-] χόντων [καὶ ..... .. ν-] των. ἰδ[ὼν δὲ ..... . ἀν-] θρω[π— — —] [Break in Text (point at which text breaks off for an unknown length)] π[ολλὰ δὲ τούτοις παρα-] πλήσια ἐλέχθη ἐν ταῖς γραφαῖς αὐτοῦ, καὶ ὡς ἡρπάγη ὑπ' ἐκείνου τοῦ ἀγγέλου ἀπὸ κόσμου εἰς κόσμον καὶ ἀπεκάλυψεν αὐτῶι μέγιστα μυστήρια τῆς μεγαλωσύνης.

52 πάλιν ἐν τῆι ἀποκαλύψει τοῦ Ἐνῶς οὕτως λέγει· ἐν τῶι τρίτωι ἔτει καὶ ἐν τῶι μηνὶ τῶι δεκάτωι ἐξῆλθον εἰς περίπατον εἰς τὴν γῆν τῆς ἐρήμου λογιζόμενος κατὰ τὴν φρόνησιν περί τε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ [οὐ]ραν[ο]ῦ καὶ τῆς γῆς καὶ [περὶ πάντω]ν τῶν ἔργων [καὶ πραγμάτω]ν ποίωι λό[γωι διὰ τίνος] καὶ τῆι τί[νος βουλήσει γεγό]νασιν. [ ..... ..... ..... .. ]ε[ ..... ..... ..... .. ] [ ..... ..... ..... θ]ανάτου.

53 καὶ ἥρπασεν σὺμμεγίστηι ἡσυχίαι. ἡ δὲ καρδία μου ἐβαρεῖτο, ἐτρόμησεν δὲ καὶ τὰ μέλη μου πάντα καὶ οἱ σφόνδυλοι τοῦ νώτου μου ἐκινήθησαν πρὸς τῆς σφοδρότητος, καὶ οἱ πόδες μου ἐπὶ τοὺς ἀστραγάλους οὐχ εἱστήκεισαν. ἀπῆλθον δὲ εἰς συχνὰς πεδιάδας καὶ εἶδον ἐκεῖ ὄρη ὑψηλότατα. καὶ ἥρπασε δέ με τὸ πν(εῦμ)α καὶ ἀνήνεγκέ με εἰς τὸ ὄρος ἐν δυνάμει ἡσύχωι. κἀκεῖ μοι ἀπεκ[αλύ]φ[θησαν πολ-] λαὶ καὶ μεγ[άλαι ὄψεις]. πάλιν εἶ[πεν ὅτι ὁ ἄγγε-] λος κα[ ..... ..... ..... .. ] δε[ ..... ..... ..... ] τ[ .......... καὶ ἀπή-] ν[εγκέ με εἰς κλίμα τὸ ἀρ-] κτῷον καὶ ἐθεώρησα ἐκεῖσε ὄρη ὑπερμεγέθη καὶ ἀγγέλους καὶ τόπους πολλούς.

54 διελάλησεν δέ μοι καὶ εἶπεν· “ὁ ἰσχυρότατος τὴν ὑπεροχὴν ἀπέστειλέ με πρὸς σέ, ἵνα σοι ἀποκαλύψω τὰ ἀπόρρητα ἃ ἐνεθυμήθης, ἐπειδήπερ ἐξελέγης εἰς τὴν ἀλήθειαν. ταῦτα δὲ πάντα τὰ ἀπόκρυφα γράψον ἐπὶ πτύχας χαλκᾶς καὶ ἀπόθου ἐν τῇ γῆι τῆς ἐρήμου. πάντα δὲ ἃ γράφεις προδηλότα[τα γρά]ψον. ἑτοίμως γὰρ [ἔχει ἡ ἀποκάλ]υψις αὕ[τη ἡ ἐμή, ἢ οὐ] τελευτᾶι [εἰς τὸν αἰῶνα, ἀπο]καλυ[φθῆναι τοῖς ἀδελ]φοῖς [ ..... ..... .... ]ς πᾶ[σι.” πολλὰ δὲ καὶ ἄλλα ὑ]πάρχει τούτοις ἐοικότα ἐν ταῖς γραφαῖς αὐτοῦ ὑποδεικνύοντα περὶ τῆς αὐτοῦ ἁρπαγῆς καὶ ἀποκαλύψεως.

55 πάντα γὰρ ἃ ἤκουσεν καὶ εἶδεν γράψας κατέλειψεν τοῖς μεταγενεστέροις πᾶσι τοῦ τῆς ἀληθείας πνεύματος. ὁμοίως δὲ καὶ ὁ Σῆμ τοῦτον τὸν τρόπον ἔφη ἐν τῆι ἀποκαλύψει αὐτοῦ· ἐλογιζόμην περὶ πάντων τῶν ἔργων ποίωι τρόπωι ἐγένοντο. ἐμοῦ δὲ διαλογιζομένου ἐξα[ί-] φνης ἥρπ[ασέν] με π[ν(εῦμ)α τὸ] ζῶν καὶ ἀν[ήνεγκεν βί-] ᾳ μεγίστη[ι καὶ κατέ-] στησεν κα[τὰ τὸ ἄκρον] ὄρους ὑψη[λοτάτου καὶ] εἶπ[εν π]ρὸς [ἐμὲ οὕτω] λέ[γων· ” ..... ..... . ] δόξαν δὸς τῶι μεγίστωι τῆς τιμῆς βασιλεῖ.

56 ” καὶ πάλιν εἶπεν ὅτι σὺν ἡσυχίαι μὲν θύραι ἀνεπετάσθησαν, διῃρέθησαν δὲ καὶ νεφέλαι πρὸς τοῦ ἀνέμου. εἶδον δὲ καθεστήριον ἐπίδοξον ἀπὸ τοῦ ὕψους τοῦ ἀνωτάτου κατερχόμενον καὶ μέγιστον ἄγγελον ἐφεστῶτα αὐτοῦ. ἡ δὲ εἰκὼν τῆς ἰδέας τοῦ προσώπου αὐτοῦ πε[ρ]ικαλλὴς καὶ ὡραία ἐτύγ[χ]ανεν μᾶλλον τῆς στιλ[βούσης λα]μπηδόνος [τοῦ ἡλίο]υ, ἔτι δὲ καὶ [τῆς ἀστραπῆ]ς. παραπλη[σίως δὲ τοῖς] ἡλιακοῖς [ ..... ..... ]ε, . [ .... ]δε ἡ [ ..... ..... ..... ]ει τῆς ποικιλίας στεφάνωι πλακέντι ἐκ τῶν Φαρμουθικῶν ἀνθῶν.

57 καὶ τότε ἠλλοιώθη ὁ χαρακτὴρ τοῦ προσώπου μου ὥστε καταπεσεῖν ἐπὶ τῆς γῆς. καὶ οἱ μὲν σφόνδυλοι τοῦ νώτου μου διεκλονήθησαν, οἱ δὲ πόδες μου οὐκ ἔστησαν ἐπὶ τοὺς ἀστραγάλους. παρέκυψεν δέ μοι φωνὴ καλοῦσα ἀπὸ τοῦ καθεστηρίου καὶ ἐπελθοῦσά μοι τῆς χειρὸς ἐλάβετο τῆς δεξιᾶς καὶ ἀνέστησεν. φυσήσασα δὲ κατ[ὰ] τῆς ὄψεώς μου ἄσθμ[α] ζωῆς προσθήκην [μοι] δυνάμεως εἰργά[σατο καὶ] δόξης. πλεῖσ[τα δὲ] καὶ ἄλλα τούτ[ο]ι[ς παρα-] πλ[ήσια ὑ]πάρ[χει ἐν ταῖς] αὐτοῦ γραφαῖς, καὶ τίνα ἀπεκάλυψαν αὐτῷ οἱ ἄγγελοι εἰπόντες γράψαι αὐτὰ πρὸς ὑπομνηματισμόν.

58 πάλιν καὶ ὁ Ἑνὼχ τοῦτον τὸν τρόπον ἔφη ἐν τῆι αὐτοῦ ἀποκαλύψει· ἐγώ εἰμι Ἑνὼχ ὁ δίκαιος. λύπη μοί ἐστιν μεγάλη καὶ χύσις δακρύων ἐκ τῶν ὀφθαλμῶν μου διὰ τὸ ἀκηκοέναι με τὸν ὀνειδισμὸν τὸν προελθόντα ἐκ στόματος τῶν ἀ[σ]εβῶν. ἔλεγεν δὲ [ὅ]τι τῶν δακρύων ἐν [τοῖ]ς ὀφθαλμοῖς μου ὄν[των] καὶ δεήσεως ἐν τῶι [στό]ματι ἐθεώρησα ἐπι[στάν]τας μοι ἀγγέλους ἑ[πτὰ ἐκ το]ῦ οὐρανοῦ κα[τερχομέ]νου[ς. ἰδὼν δὲ] αὐτοὺς ἐκινήθην ὑπὸ δέους ὥστε τὰ γόνατά μου ἀλλήλοις προσαράσσειν.

59 καὶ πάλιν εἶπεν οὕτως· ἔφη μοι εἷς τῶν ἀγγέλων Μιχαὴλ τοὔνομα· “τούτου χάριν πρὸς σὲ ἀπεστάλην ἵνα ὑποδείξωμέν σοι πάντα τὰ ἔργα καὶ ἀποκαλύψωμέν σοι τὸν τῶν εὐσεβῶν χῶρον καὶ χῶρόν σοι δείξω τὸν τῶ[ν] δυσσεβῶν καὶ ὁποῖος τυγχάνει ὁ τῆς τιμωρίας τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνόμων τόπος.” φησὶ δὲ πάλιν ὅτι ἐκεῖνο[ι] ἐπεκάθισάν με ἐπὶ ἅ[ρ-] ματος ἀνέμου καὶ ε[ἰς] τὰ πέρατα τῶν οὐρ[ανῶν] ἀνήνεγκαν. καὶ το[ὺς κό-] σμους διεπεράσαμ[εν], τόν τε κόσμον [τοῦ θανά-] του [καὶ κό]σμο[ν τοῦ σκό-] τους καὶ τοῦ πυρὸς τὸν κόσμον.

60 καὶ μετὰ ταῦτα εἰσῆξάν με εἰς κόσμον πλουσιώτατον ὃς εὐκλεέστατος μὲν τῷ φωτὶ ἐτύγχανεν, περικαλλέστερος δὲ ὧν εἶδον φωστήρων. πάντα δὲ ἐθεώρησεν καὶ ἐξήτασεν τοὺς ἀγγέλους, καὶ εἴ τι αὐτῶι εἶπον, ἐνεχάραξεν αὐτοῦ ὃν τρόπον καὶ ὁ ἀπόστολος Παῦλος ἴσμεν ὅτι ἡρπάγη ἕως τοῦ τρίτου οὐρ[α]νοῦ (2 Cor. 12, 2), καθὼς λέγει ἐν [τ]ῇ πρὸς Γαλάτας ἐπιστο[λῇ] (1, 1)· Παῦλος ἀπόστολος [οὐ]κ ἀπ’ ἀνθρώπων οὐδὲ [δι’ ἀν]θρώπου, ἀλλὰ διὰ [Ἰη(σο)ῦ Χ](ριστο)ῦ καὶ Θ(εο)ῦ Π(ατ)ρ(ὸ)ς τοῦ ἐ[γείραντ]ος αὐτὸν ἐκ τῶν [νεκρῶ]ν. [καὶ ἐ]ν τῆι πρὸς Κορινθίους δευτέραι (12, 1—5) λέγει· ἐλεύσομαι πάλιν εἰς ὀπτασίας καὶ ἀποκαλύψεις κ(υρίο)υ.

61 οἶδα ἄν(θρωπ)ον ἐν Χρ(ιστ)ῶι—εἴτε ἐν σώματι εἴτε ἐκτὸς σώματος οὐκ οἶδα, θ(εὸ)ς οἶδεν—ὅτι ἡρπάγη ὁ τοιοῦτος εἰς τὸν παράδεισον καὶ ἤκουσεν ἄρρητα ῥήματα ἃ οὐκ ἐξὸν ἀνθρώπωι λαλῆσαι. περὶ τοιούτου καυχήσομαι, περὶ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι. πάλιν ἐν τῇ πρὸς Γαλάτας ἐπιστολῆι (1, 11—12)· δείκνυμι, ἀδελφοί, τὸ εὐαγγέλι[ον] ὃ εὐαγγελισάμην ὑμ[ῖν], ὅτι οὐκ ἐξ ἀνθρώπ[ου] αὐτὸ παρείληφα [οὐδὲ ἐ-] διδάχθην, ἀλλὰ [δι’ ἀπο-] καλύψεως Ἰη(σο)ῦ [Χ(ριστο)ῦ. οὗτος] δ[ὲ ὡς ἐκ]τὸς ἑ[αυτοῦ ἁρ-] παγεὶς εἰς τὸν τρίτον οὐρανὸν καὶ εἰς τὸν παράδεισον (sec.

62 2 Cor. 12, 2) καὶ ἰδὼν καὶ ἀκούσας καὶ αὐτὸ τοῦτο ἐνεχάραξεν αἰνιγματωδῶς περί τε τῆς ἁρπαγῆς αὐτοῦ καὶ ἀποστολῆς τοῖς συμμύσταις τῶν ἀποκρύφων. καὶ τὸ πέρας δὲ πάντες οἱ μακαριώτατοι ἀπόστολοι καὶ σωτῆρες καὶ εὐαγγελισταὶ καὶ τῆς ἀληθείας προφῆται ἕκαστος αὐτῶν ἐθεώρησεν καθ’ ὃ(ν) ἀπεκαλύφθη αὐτῷ ἐλ[πὶ]ς ἡ ζῶσα πρὸς τὸ κήρυ[γμ]α, καὶ ἔγραψαν καὶ κα[τα]λελοίπασιν καὶ ἀπέ[θεν]το εἰς ὑπόμνησιν [τῶν ἐ]σομένων υἱῶν τοῦ [Ἁγίου Π]ν(εύματο)ς καὶ γνωσομέ[νων τῆς] φων[ῆς αὐτο]ῦ τὴν αἴσθησιν.

63 τούτωι τῶι τρόπωι καὶ τοῦ πανευφημοτάτου ἀποστόλου, δι’ οὗ καὶ ἐξ οὗ ἐλήλυθεν ἡμῖν ἡ ἐλπὶς καὶ ἡ κληρονομία τῆς ζωῆς, ἀκόλουθόν ἐστιν ἡμῖν γράψαι καὶ σημᾶναι τοῖς μεταγενεστέροις πᾶσι καὶ οἰκείοις τῆς πίστεως καὶ γόνοις οὖσι πνευματικοῖς δι’ ὑδάτων αὐτοῦ φανοτάτων αὐξανομένοις, ὡς ἂν γνωσθῇ αὐτοῖς ἥ τε ἁρπαγὴ αὐτοῦ καὶ ἀποκάλυψις. ἐπιστάμεθα γάρ, ὦ ἀδελφοί, τὸ ὑ[περ-] βάλλον τῆς σοφίας [ὅ-] σον τυγχάνει τὸ μ[έγε-] θος πρὸς ἡμᾶς κα[τὰ ταύ-] την τὴν ἄφιξ[ιν τοῦ πα-] ρακλήτου τῆ[ς ἀληθεί-] ας, ἣν [συ]νγιν[ώσκομεν] μὴ ἐξ ἀνθρώπων αὐτὸν προσδεδέχθαι μηδ’ ἐξ ἀκοῆς τῶν βίβλων, καθὼς καὶ αὐτὸς ὁ π(ατ)ὴρ ἡμῶν φησιν ἐν τοῖς συγγράμμασιν οἷς ἀπέστειλεν εἰς Ἔδεσαν· λέγει γὰρ οὕτως· τὴν ἀλήθειαν καὶ τὰ ἀπόρρητα ἅπερ διαλέγομαι—καὶ ἡ χειροθεσία ἡ οὖσα παρ’ ἐμοί—οὐκ ἐξ ἀν(θρώπ)ων αὐτὴν παρέλαβον ἢ σαρκικῶν πλασμάτων, ἀλλ’ οὐδὲ ἐκ τῶν ὁμιλιῶν τῶν γραφῶν.

64 ἀλλ’ ὁπηνίκα θεωρήσας με οἴκτιρέν [με] ὁ μακαριώτατος [π(ατ)ὴρ] ὁ καλέσας με εἰς [τὴ]ν χάριν αὐτοῦ καὶ μὴ [βουλ]ηθείς με ἀπολέσθαι [καὶ] τοὺς λοιποὺς τοὺς [ἐν τῷ κ]όσμωι, ὅπως ὀρέ[ξηι τὴν] εὐζω[ίαν] ἐκείνοις το〈ῖ〉ς ἑτοίμοις ἐκλεγῆναι αὐτῶι ἐκ τῶν δογμάτων, καὶ τότε τῆι αὐτοῦ χάριτι ἀπέσπασέ με ἀπὸ τοῦ συνεδρίου τοῦ πλήθους τοῦ τὴν ἀλήθειαν μὴ γινώσκοντος καὶ ἀπεκάλυψέ μοι τά τε αὐτοῦ ἀπόρρητα καὶ π(ατ)ρ(ὸ)ς αὐτοῦ τοῦ ἀχράντου καὶ παντὸς τοῦ κόσμου.

65 ἐξέφηνε δέ μοι καθ’ ὃν ὑπῆρχον τρόπον πρὶν καταβολῆς κόσμου καὶ ὃν τρόπον ἐτέθη ἡ κρηπὶς τῶν ἔργων πάντων ἀγαθῶν τε καὶ φαύλων καὶ ποίωι τρόπωι ἐτεκτο[νε]ύσαντο τὰ [ἐκ] τῆς συγκράσε[ως κατὰ] τούτους τ[οὺς ….. ] ρους καὶ κ[ ….. … ]. ἔγραψεν [δ’ αὖ πάλιν καὶ] εἶπεν ἐν τῶι εὐαγγελίωι τῆς ἁγιωτάτης αὐτοῦ ἐλπίδος· ἐγὼ Μαννιχαῖος Ἰη(σο)ῦ Χρ(ιστο)ῦ ἀπόστολος διὰ θελήματος Θεοῦ Π(ατ)ρ(ὸ)ς τῆς ἀληθείας ἐξ οὗ καὶ γέγονα, ὃς ζῇ τε καὶ διαμένει εἰς αἰῶνας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αἰώνων πρὸ παντὸς μὲν ὑπάρχων, διαμένων δὲ καὶ μετὰ πάντα· πάντα δὲ τὰ γεγονότα τε καὶ γενησόμενα διὰ τοῦ αὐτοῦ σθένους ὑφέστηκεν.

66 ἐξ αὐτοῦ γὰρ τούτου πέφυκα, εἰμὶ δὲ καὶ ἐκ τοῦ θελήματος αὐτοῦ. καὶ ἐξ αὐτοῦ [π]ᾶν τἀληθές μοι ἀπε[καλύφ]θη, κἀκ τῆς ἀλη[θείας αὐτο]ῦ τυγχάνω. [ἣν ἀπεκάλυψ]εν εἶδον ἀ[λήθειαν αἰώ]νων. καὶ ἀλήθειαν μὲν ἐξέφηνα τοῖς ἐμοῖς ξυνεμπόροις, εἰρήνην δὲ εὐηγγελισάμην τοῖς τῆς εἰρήνης παισίν· ἐλπίδα δ’ ἐκήρυξα γένει τῷ ἀθανάτωι· ἐκλογὴν ἐξελεξάμην καὶ ἀτραπὸν τὴν ἐπὶ τὸ ὕψος ὑπέδειξα τοῖς ἀνιοῦσι κατὰ τὴν ἀλήθειαν τήνδε.

67 ἐλπίδα ἐκήρυξα καὶ τήνδε τὴν ἀποκάλυψιν ἀπεκάλυψα καὶ τόδε τὸ ἀθάνατον εὐαγγέλιον γέγραφα ἐνθέμενος αὐτῶι ταῦτα τὰ τῆς ὑπερ[ο-] χῆς ὄργια καὶ μέγιστα [ἔρ-] γα ἐκφήνας ἐν αὐτῶι, [τὰ] δὴ μέγιστα καὶ σεμν[ότα-] τα ἔργων τῶν ἰσχυ[ροτά-] των τῆς ὑ[περοχῆς. καὶ] ταῦτα ἅπ[ερ ἀπεκάλυψεν], ὑπέδειξα [τοῖς ζῶσιν ἐκ] τῆς θεωρίας τῆς ἀληθεστάτης ἣν ἐθεώρησα καὶ ἐνδοξοτάτης ἀποκαλύψεως τῆς ἀποκαλυφθείσης μοι.

68 ἔφη δ’ αὖ πάλιν ὡς πάντα τὰ ἀπόρρητα ἅπερ μοι ὁ ἐμὸς π(ατ)ὴρ δεδώρηται, ἔκ τε τῶν δογμάτων καὶ τῶν ἐθνῶν, ἔτι δὲ καὶ τοῦ κόσμου ἀποκρύψας καὶ σκεπάσας ὑμῖν ἀπεκάλυψα κατὰ τὴν εὐδοκίαν τοῦ μακαριωτάτου μου π(ατ)ρ(ό)ς. καὶ εἰ πάλιν εὐδοκήσοι, αὖθις ὑμῖν [ἀ]ποκαλύπτω· ἡ γάρ τοι δωρεὰ ἡ παρὰ τοῦ π(ατ)ρ(ό)ς μοι δεδωρημένη με[γίσ]τη τυγχάνει καὶ [πλουσιωτ]άτη· εἰ γὰρ [σύμπας ὁ κό]σμος ὑπή[κουεν αὐτ]ῶι καὶ πάντες οἱ ἄν(θρωπ)οι, ἱκανὸς ἂν ἐτύγχανον ἐξ αὐτοῦ τούτου τοῦ κτήματος καὶ κέρδους οὗ μοι δεδώρηται ὁ ἐμὸς π(ατ)ήρ πλουτίσαι αὐτοὺς καὶ αὐτάρκη καταστῆσαι τὴν σοφίαν σύμπαντι τῶι κόσμῳ.

69 πάλιν ἔλεγεν ὡς ὁπηνίκα ηὐδόκησεν ὁ ἐμὸς π(ατ)ὴρ καὶ πεποίηται οἰκτιρμὸν εἰς ἐμὲ καὶ κηδεμονίαν, ἐξαπέστειλεν ἐκεῖθεν σύζυγόν μου τὸν ἀσφαλέστατον, τὸ[ν] πάντα ἀθανασίας καρπ[όν], ὡς ἂν οὗτος ἐξαγοράση[ι] με καὶ λυτρώσαιτο [ἐκ] τῆς πλάνης τῶν τοῦ [νό-] μου ἐκείν 〈ου〉 . ἀφικ[ό-] μενος δὲ πρὸς ἐ[μὲ κεκό-] μικέ μοι ἐλπ[ίδα τὴν ἀ-] ρίστην καὶ λ[ύτρωσιν] τὴν τῆς ἀθανασίας καὶ ὑποθήκας ἀληθεῖς καὶ τὴν χειροθεσίαν τὴν ἐκ τοῦ π(ατ)ρ(ὸ)ς τοῦ ἐμοῦ.

70 ἐλθὼν δὲ ἐκεῖνος ἐξελέξατό με προκρίνας καὶ διέστησεν ἐπισπασάμενος ἐκ μέσου τῶν τοῦ νόμου ἐκείνου καθ’ ὃν ἀνετράφην. πλεῖσται δὲ ὑπερβολαὶ καὶ ἄλλαι παραπλήσιαι ταύταις ὑπ[ά]ρχουσιν ἐν ταῖς βίβλοις τοῦ π(ατ)ρ(ὸ)ς ἡμῶν, αἳ δεικνύουσι τήν τε ἀποκάλυψιν αὐτοῦ καὶ ἁρπαγὴν τῆς αὐτοῦ ἀποστολῆς· μεγί[στ]η γὰρ τυγχάνει ἥδε ἡ [ὑ]περβολὴ τῆς ἀφίξεως [τ]αύτης τῆς διὰ τοῦ πα[ρακ]λ[ή]του πν(εύματο)ς τῆς ἀλη[θείας ἀφ]ικομένης πρὸς [ἡμᾶς]. περὶ γὰρ τούτων τίνος χάριν καὶ διὰ [τί κε-] κίνηται ἡμῖν ἅπαξ [πε-] πεισμένοις ὑπερβάλλ[ειν] τήνδε τὴν ἀποστολὴν ἐν ταῖς αὐτῆς ἀποκαλύψεσιν; τούτου δὲ χάριν ἐδευτερώσαμεν ἀπὸ τῶν προγόνων ἡμῶ[ν] πατέρων τήν τε ἁρπαγὴν αὐτῶν καὶ ἀποκάλυψιν ἑνὸς ἑκάστου, εἵνεκα τῶν λογισμῶν τῶν ἐνδεδυμένων τὴν ἀπιστίαν καὶ οἰομένων τι περὶ ταύτης τῆς ἀποκαλύψεως καὶ ὀπτασί[ας] τοῦ π(ατ)ρ(ὸ)ς ἡμῶν, ἵνα ε[ἰδῶ-] σιν ὡς ὅτι καὶ τῶ[ν προγό-] νων ἀποστόλων [τοιαύ-] τη γέγονεν ἡ διατα[γή].

71 ὁπηνίκα γὰρ ἕκα[στος αὐ-] τῶν ἡρπάζετο [ἃ ἐθεώ-] ρει καὶ ἤκουε [ταῦτα πάντα ἔ]γραφεν καὶ ὑπεδεί[κ]νυεν καὶ αὐτὸς αὐτοῦ [τ]ῆς ἀποκαλύψεως μάρτυς ἐγένετο· οἱ δὲ μαθηταὶ αὐτοῦ ἐγίγνοντο σφραγὶς αὐτοῦ τῆς ἀποστολῆς.

72 Βαραίης ὁ διδάσκαλος ἡμεῖς τοίνυν, ὦ ἀδελφοί, παῖδες τυγχάνοντες τοῦ πν(εύματο)ς τοῦ π(ατ)ρ(ὸ)ς ἡμῶν, οἳ καὶ ταῦτα ἠκούσαμεν καὶ ἠκροασάμε[θ]α καὶ ἐν αὐτοῖς γεγηθό[τ]ες, οὕτω γνῶμεν τὴν [παρου]σίαν αὐτοῦ πνευ[ματο]ειδῶς, ὡς ἀπεστά[λη] ἐξ ἐντολῆς τοῦ π(ατ)ρ(ὸ)ς [αὐτοῦ] καὶ ποίωι τρό[πωι ἐγ]εννήθη κατὰ τὸ [σῶμα κα]ὶ ὡς ἦλθεν αὐτῶι σύζυγος αὐτοῦ ὁ σεμνότατος καὶ διέστη[σεν] αὐτὸν ἐκ τοῦ νόμου καθ’ ὃν ἀνετράφη αὐτοῦ [τὸ] σῶμα.

73

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατὰ γὰρ τὸ εἰκ[ο-] στὸν καὶ πέμπτον ἔτος ἀπεκαλύφθη αὐτῷ μεγαλοπρεπῶς. ἔτι γὰρ αὐτοῦ ὑπάρχοντος ἐν τῶι δόγματι ἐκείνωι τῶν βαπτιστῶν παραπλήσιος ὑπῆρχεν ἀμνάδι οἰκούσῃ ἐν ὀθνείαι ποίμνῃ ἢ ὃν τρόπον ὄρνεον συνδιατρῖβον ἑτέροις ὀρνέοις οὐχ [ὁ-] μοφώνοις· πάντοτε γ[ὰρ] σὺν σοφίαι καὶ εὐμηχ[ανίαι] ἀνεστρέφετο ἐν μέ[σωι] αὐτῶν πάντα ἐκεῖ[νον] τὸν χρόνον μηδ[ενὸς] αὐτῶν γινώσκ[οντος] αὐτὸν τίς τυ[γχάνει] ἢ τί προσεδέξατο καὶ τί αὐτῶι ἀπεκαλύφθη, ἀλλ’ οὕτως αὐτὸν εἶχον παρ’ ἑαυτοῖς κατὰ τὴν τιμὴν τοῦ σώματος.

74 Ἀβιησοῦς ὁ διδάσκαλος καὶ Ἰνναῖος ὁ ἀδελφὸς Ζαβέδ ἔφη ὁ κ(ύριο)ς· ὁπηνίκα μεταξὺ αὐτῶν ᾤικουν, ἐν μιᾶι τῶν ἡμερῶν κατέσχε με τῆς χειρὸς Σιταῖος ὁ πρεσβύτερος τοῦ συνεδρίου αὐτῶν ὁ τοῦ Γαρᾶ υἱὸς διὰ τὸ στέργειν με [π]άνυ καὶ ὡς υἱὸν φιλού[με]νον ἔχειν. κατέσχεν [με] τοίνυν τῆς χειρὸς [οὐ]δενὸς ἑτέρου συνόν[τος ἡ]μῖν καὶ πορευθεὶς [ἀνώρ]υξεν καὶ ὑπέδειξέν μοι θησαυροὺς μεγίστους οὓς κρύφα ἀποκειμένους εἶχεν.

75 ἔφη δὲ πρὸς ἐμέ· “ἐμοὶ τυγχάνουσιν οὗτοι οἱ θησαυροὶ κἀγὼ αὐτῶν τὴν ἐξουσίαν ἔχω. ἀπὸ δὲ τοῦ νῦν σοῦ ἔσονται· οὐδένα γὰρ ἕτερον στέργω κατὰ σὲ ὧι τούτους τοὺς θησαυροὺς δώσω.” οὕτω δὲ αὐτοῦ φθεγξαμένου πρὸς ἐμὲ ἐγὼ κατὰ τὴν φρόνησιν εἶπον· “προέλαβέ με ὁ μακαριώτατός μου π(ατ)ὴρ καὶ δεδώρηταί μοι ἀθάνατον θησαυρὸν μὴ π[α-] ρερχόμενον· ὃν ἄν τ[ις] κληρονομήσοι, ἀθά[νατον] ζωὴν πρὸς τούτ . [ . κομι-] εῖται.” ἐγ[ὼ τοί-] νυν ἔφην Σιτα[ίῳ τῷ πρε-] σβυτέρωι· “οἱ πρ[ογενέστε-] ροι οἱ κτησάμενοι τούσδε τοὺς γεηροὺς θησαυροὺς πρὸ ἡμῶν ποῦ τυγχάνουσιν οἱ κληρονομήσαντες αὐτούς; ἰδοὺ γὰρ ἀπέθανον καὶ ἀπώλοντο καὶ οὐκ ἰδίους αὐτοὺς ἔσχον, ἀλλ’ οὐδὲ συναπηνέγκαντο μεθ’ ἑαυτῶν.

76 ” ἔφη δὲ πρὸς αὐτόν· “εἰς τί μοι τοίνυν τούτους τοὺς θησαυροὺς τοὺς σφάλματα καὶ πλημμελήματα προξενοῦντας παντὶ τῶι κτησαμένῳ αὐτούς; ὁ γὰρ τοῦ θ(εο)ῦ θησαυρὸς μέγιστος τυγχάνει καὶ πλου[σι]ώτατος καὶ τῇ ζωῇ παρ[ίσ]τησι πάντα τὸν αὐτὸν [κληρ]ονομοῦντα.” ἰδὼν [δὲ Σι]ταῖος μὴ πεισθεῖσαν [ἐμοῦ] τ[ὴ]ν φρόνησιν πρὸς [παράλη]ψιν ὧν ὑπεδείξατό μοι θησαυρῶν πάνυ ἐθαύμασεν ἐπ’ ἐμέ.

77 Τιμόθεος τότε μετὰ βραχὺν καιρὸν ἐβουλευσάμην οὕτως τῶι τε Σιτᾶι κἀκείνοις τοῖς ἐκ τοῦ συνεδρίου αὐτοῦ ἐξ ὧν ἀπεκάλυψέν μοι ὁ μακαριώτατός μου π(ατ)ὴρ ἐξειπεῖν αὐτοῖς καὶ ὑποδεῖξαι τὴν τῆς ὁσιότητος ἀτραπόν. ἐμοῦ δὲ ταῦτα διαλογιζομένου ὤφθη μοι ὅλος ὁ κόσμος γεγενημέν[ος] ὡσεὶ θάλασσα μεμ[εστω-] μένη ὑδάτων μελανωτάτων· κατα[φ]ε[ρομέ-] νας δὲ κατ’ αὐτ[ῆς χιλι-] άδας καὶ μυρι[άδας εἶδον] καταποντιζ[ομένας καὶ] ἀναδυνούσας καὶ ἐνστρεφομένας περὶ τὰ τέσσερα κλίματα τῆς θαλάσσης.

78 εἶδον δὲ κατὰ τὸ μέσον αὐτῆς κρηπῖδα βεβλημένην καὶ πάνυ ὑψηλοτάτην καὶ ἐπ’ αὐτῆς μόνης φῶς ἀνατέλλον καὶ ὁδὸν ἐπ’ αὐτῆς κατεστρωμένην καὶ ἐμαυτὸν ἐν ταύτηι περιπατοῦντα. ὑποστραφεὶς δὲ εἰς τοὐπίσω ἐθεώρησα Σιτᾶν κατέχοντα ἄνδρα τινὰ ἐχόμενον ὑπό τινος καὶ κατὰ μέσον τῆς θαλάσσης καὶ τοῦ σκότους καταστρέφον[τα] καὶ πεσόντα καὶ ὑπο[βρύ]χιον γενόμενον. μό[νον] δὲ βραχύ τι τῶν τρι[χῶν αὐ]τοῦ ἐθεώρουν ὥσ[τε λυπε]ῖσθαί με πάνυ δι[ὰ τὸν Σιτᾶν]. ἐκεῖνος δὲ ὁ ἐκρίψας αὐτὸν ἔφη πρὸς ἐμέ· “τίνος χάριν περὶ τοῦ Σιτᾶ λυπῆι; οὐ γάρ ἐστιν ἐκ τῆς σῆς ἐκλογῆς οὐδὲ ἐπὶ τῆς σῆς ὁδοῦ πορεύσεται.

79 ” ταῦτα τοίνυν ἰδὼν οὐδὲν αὐτῶι ἀπεκάλυψα. ἐθεώρουν δ’ αὖ πάλιν αὐτὸν ὁπηνίκα τὸν τῆς ἀληθείας λόγον ὡμίλουν ἀντιπάσχοντά μου τῶι λόγωι. Βαραίης ὁ διδάσκαλος ἔφη ὁ κ(ύριό)ς μου· ἱκανός μοι διάλογος γεγένηται [ἐ-] ν ἐκείνωι τῶι νόμωι [πρὸς] ἕνα ἕκαστον ἀναΐ[σσον-] τός μου καὶ ἀνα[κρί-] νοντος αὐτοὺς [περὶ τῆς] ὁδοῦ τοῦ θ(εο)ῦ κ[αὶ περὶ τῶν] τοῦ σ(ωτῆ)ρ(ο)ς ἐντολ[ῶν καὶ πε-] ρὶ τοῦ βαπτίσματος καὶ περὶ ὧν βαπτίζουσιν λαχάνων καὶ περὶ παντὸς θεσμοῦ καὶ τάξεως αὐτῶν καθ’ ἣν πορεύονται.

80

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁπηνίκα δὲ κατέλυον καὶ κατή 〈ργ〉 ουν αὐτῶν τοὺς λόγους καὶ τὰ μυστήρια ὑποδεικνύων αὐτοῖς ὡς ταῦτα ἃ μετέρχονται οὐκ ἐκ τῶν τοῦ σ(ωτῆ)ρ(ο)ς ἐντολῶν ἐδέξαντο, τινὲς μὲν ἐξ αὐτῶν ἐθαύμαζόν με, ἄλλοι δὲ ὠργίζοντο καὶ θυμούμενοι ἔλεγον· “μήτι εἰς τοὺς Ἕλλη[ν]ας βούλεται πορευθῆ[ν]αι;” ἐγὼ δ’ ὁπηνίκα ἔ[βλ]επον αὐτῶν τὰ φρο[νήμ]ατα, ἔφασκον πρὸς [αὐτοὺ]ς σὺν χρηστότη[τι· “τοῦτο] τὸ βάπτισμα [οὐδὲν τ]υγχάνει ἐν ᾧ βαπτίζετε ὑμῶν τὰ ἐδέσματα· τὸ γὰρ σῶμα τοῦτο μιαρόν ἐστιν καὶ ἐκ πλάσεως μιαρότητος ἐπλάσθη.

81 ὁρᾶτε δὲ ὡς ἐπάν τις καθαρίσῃ ἑαυτοῦ τὴν ἐδωδὴν καὶ ταύτης μεταλάβῃ ἤδη βεβαπτισμένης, φαίνεται ἡμῖν ὅτι καὶ ἐξ αὐτῆς γίνεται αἷμα καὶ χολὴ καὶ πν(εύμ)ατα καὶ σκύβαλα τῆς αἰσχύνης καὶ τοῦ σώματος μιαρότης. εἰ δέ τις κατάσχοι τὸ στόμα ἑαυτοῦ ἡμέρας ὀλίγ[ας] ἐκ ταύτης τῆς τροφ[ῆς], αὐτόθι γινώσκετα[ι ταῦ-] τα πάντα τὰ ἀπεκδ[ύμα-] τα τῆς αἰσχύνης κ[αὶ βδε-] λυρότητος ἐλλε[ίποντα] καὶ ὑστεροῦντ[α ἐν τῶι] σώματι· ἐὰ[ν δ’ αὖ] μεταλάβῃ ἐ[δωδῆς, τῶι] αὐτῶι τρόπωι πάλιν πλεονάζουσιν ἐν τῶι σώματι ὡς καὶ πρόδηλον εἶναι ὡς ἐξ αὐτῆς τῆς τροφῆς πλημμυροῦσιν.

82 εἰ δέ τις μεταλάβοι βρώματος βεβαπτισμένου καὶ κεκαθαρμένου καὶ ἐκείνου μεταλάβοι τοῦ ἀβαπτίστου, δῆλόν ἐστιν ὡς τὸ κάλλος καὶ ἡ δύναμις τοῦ σώματος ἡ αὐτὴ γνωρίζεται. ὁμοίως δὲ καὶ ἡ βδελυρότης καὶ ἡ τρὺξ τῶν ἀμφοτέρων θεωρεῖται μη[δὲ]ν παραλλάττουσα ἑκα[τέ]ρας ὥστε μὴ ἔκδηλον [εἶν]αι ἐκείνην τὴν βε[βαπ]τισμένην ἣν ἀπέ[ριψε κ]αὶ ἐξεδύσατο τῆς [ἑτέρας ἐ]κείνης τῆς ἀβα[πτίστου]. καὶ τοῦτο δὲ ὃ καθ’ ἑκάστην ἡμέραν βαπτίζεσθε ἐν ὕδασιν οὐδὲν τυγχάνει· ἅπαξ γὰρ βαπτισθέντες καὶ ἀποκαθαρθέντες εἵνεκε[ν] τίνος πάλιν καθ’ ἑκάστη[ν] ἡμέραν βαπτίζεσθε; ὡς καὶ ἐν τούτῳ πρόδηλον εἶναι σικχαίνεσθαι ὑμᾶς καθ’ ἑκάστην ἡμέραν καὶ διὰ τὴν βδελυρότητα βαπτίζεσθαι πρὸ τοῦ ἀποκαθαρθῆν[αι]· καὶ ἐν τούτῳ δὲ φαν[ε-] ρὸν εἶναι προδηλότ[α-] τα πᾶσαν τὴν μυσ[αρό-] τητα ἐκ τοῦ σώμα[τος εἶ-] ναι.

83 καὶ ἰδοὺ καὶ ὑ[μεῖς] αὐτὸ ἐνεδύσασθ[ε].” “τοὐντεῦθεν 〈δ〉 έ, [τί ἐστιν] ὑμῶν ἡ καθα[ρότης, ἐξ] ἑαυτῶν κατ[ασκέψα-] σθε. ἀδύν[ατον γὰρ] τὰ σώματα ὑμῶν παντελῶς καθαρίσαι· καθ’ ἑκάστην γὰρ ἡμέραν κινεῖται καὶ ἵσταται τὸ σῶμα διὰ τὰς ἐκκρίσεις τῆς ὑποστάθμης τὰς [ἐ]ξ αὐτοῦ, ὡς καὶ γενέσθαι τὸ πρᾶγμα δίχα ἐντολῆς τῆς τοῦ σ(ωτῆ)ρ(ο)ς.

84 ἡ τοίνυν καθαρότης περὶ ἧς ἐλέχθη, αὕτη τυγχάνει ἡ διὰ τῆς γνώσεως, χωρισμὸς φωτὸς ἀπὸ σκότους καὶ τοῦ θανάτου τῆς ζωῆς [κα]ὶ τῶν ζώντων ὑδά[τω]ν ἐκ τῶν τεθαμβω[μέ]νων· καὶ ἵνα γνοῖ[τε ὅ]τι ἑκάτερον τυγχά[ .... ] . ν ἀλλήλων, καὶ κα[θέξετε] τὰς τοῦ σ(ωτῆ)ρ(ο)ς ἐντο[λὰς ὅπω]ς ἀπολυτρώση[ται ὑμῶ]ν τὴν ψυχὴν ἐκ [τοῦ ὀλέθρ]ου καὶ τῆς ἀπωλείας.

85 αὕτη ἐστὶν ἡ κατ’ ἀλήθειαν εὐθυτάτη καθαρότης ἣν παρενεγυήθητε πρᾶξαι. ἀπελοήθητε δὲ μεταβληθέ[ν-] τες ἐξ αὐτῆς καὶ κατέσχατε τὴν τοῦ σώματος κάθαρσιν τοῦ μιαρωτάτου καὶ διὰ μυσαρότητος πεπλασμένου, καὶ δι’ αὐτῆς ἐτυρώθη καὶ οἰκοδομηθὲν ἔστη.” ταῦτα δέ μου εἰπόντο[ς] πρὸς αὐτοὺς καὶ κατα[λύ-] σαντος καὶ καταργή[σαν-] τός μου ἐκεῖνο ὅπε[ρ ἔσπευ-] δον τινὲς μὲν ἐξ [αὐτῶν] εὐφήμησάν μ[ε θαυμά-] ζοντες ἐπ’ ἐμο[ὶ καὶ ὡσεὶ] ἀρχηγὸν καὶ δι[δάσκα-] λον ἔσχον με. [πολὺς] δὲ ψιθυρισμ[ὸς ἐγένετο] ἐν ἐκείνῳ τ[ῷ δόγμα-] τι ἐμοῦ χάριν.

86 τινὲς δὲ ἐξ αὐτῶν εἶχόν με ὡσεὶ προφήτην καὶ διδάσκαλον· καί τινες μὲν ἐξ αὐτῶν ἔλεγον· “ζῶν λόγος ἄιδεται ἐν αὐτῶι· ποιήσωμεν αὐτὸν διδάσκαλον τοῦ δόγματος ἡμῶν.” ἄλλοι δὲ ἔλεγον· “μήτι ἄρα φωνὴ αὐτῶι ἐλάλησεν κατὰ τὸ λεληθὸς κἀκεῖνα ἅπερ ἀπεκάλυψεν αὐτῶι λέγει;” καὶ οἱ μὲν ἔλεγον· “μὴ κα[τ’] ὄναρ ὤφθη τι αὐτῶι, [κἀ]κεῖνο ὅπερ εἶδεν λέ[γει];” ἄλλοι δὲ ἔλεγον· “μή[τι οὗτ]ός ἐστιν περὶ οὗ [ἐπροφ]ήτευσαν οἱ διδά[σκαλο]ι ἡμῶν λέγοντες· ‘[ἀναστή]σεταί τις ἠΐθε[ος ἐκ μέσ]ου ἡμῶν καὶ [διδάσκα]λος νέος π[ρο]σελεύσεται ὡς καὶ κινῆσαι ἡμῶν τὸ πᾶν δόγμα, ὃν τρόπον οἱ πρόγονοι ἡμῶν πατέρες ἐφθέγξαντο περὶ τῆς ἀναπαύσεως τοῦ ἐνδύματος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

87 ‘” ἄλλοι δὲ ἔλεγον· “μὴ ἄρα πλάνη ἐστὶν ἡ ἐν αὐτῶι φθεγγομένη καὶ βούλεται τὸ ἔθνος ἡμῶν ἀποπλανῆσαι καὶ διχάσαι τὸ δόγμα;” ἄλλοι δὲ ἐξ αὐτῶν φθόνου καὶ ὀργῆς ἐπληρώθησαν, ἐξ ὧν τινες ἐψηφίζοντο θάνατο[ν]· ἄλλοι δὲ ἔλεγον· “οὗτό[ς ἐ-] στιν ὁ ἐχθρὸς το[ῦ νόμου] ἡμῶν.” καὶ οἱ μὲ[ν ἔλεγον]· “εἰς τὰ ἔθνη βούλ[εται πο-] ρευθῆναι καὶ Ἑλ[ληνικὸν] ἄρτον φαγεῖν;” [ ... “ἠκού-] σαμεν γὰρ αὐ[τοῦ λέγον-] τος· ‘δέον ἐσ[τὶν Ἑλληνι-] κοῦ ἄρτου μεταλαμβάνειν.

